This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.


About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

NYPL RESEARCH LIBRARIES
3 3433 07598927 1

The
Gordon Lester Ford
Collection
Presented by his Sons
Worthington Chauncey Ford
and
Paul Leicester Ford
to the
New York Public Library.

SSD
PLUTAR



PLUTARCHI

DE

EDUCATIONE LIBERORUM

LIBER,

GRÆCE ET LATINE.

VARIORUM NOTAS ADJECIT,

SUASQUE ANIMADVERSIONES

IMMISCUIT,

THOMAS EDWARDS, LL.D.

IN USUM STUDIOSÆ JUVENTUTIS.

CANTABRIGIÆ,

Typis Academicis excudebat J. Archdeacon.

Veneunt apud J. & J. Merrill, Cantabrigiæ; T. Cadell, P. Elmsly, B. White & Fil. T. Payne & Fil. R. Faulder, G. & T. Wilkie, et J. Evans, Londini; J. Fletcher, et D. Prince & J. Cooke, Oxon.

MDCCXCI.

THE NEW YORK
PUBLIC LIBRARY
152383
ASTOR, LENOX
TILDEN FOUNDATIONS
1899

VIRO REVERENDISSIMO

ATQUE ORNATISSIMO,

RICHARDO BEADON, S.T.P.

EPISCOPO GLOCESTRIENSI,

HUNC AUREUM PLUTARCHI LIBELLUM,

EA, QUA PAR EST, OBSERVANTIA,

DAT, DICAT, DEDICAT, CONSECRATQUE,

EDITOR.

PRÆFATIO.

OFFERO tibi, mi Lector, hunc eximium Plutarchi libellum, "non qualem volui, ſed qualem potui." Cum enim, aliquot ante annis, *Epiſcopi Gloceſtrienſis*, tunc temporis Academiæ noſtræ Procancellarii, hortatu integra Plutarchi Opuſcula Miſcellanea in me edenda ſuſceperam, atque huic pluſquam Herculeo labori me ſtrenue accinxeram; — ſtatim pro explorato habui, id quod antea me docuerant probatiſſimi ſcriptores, nihil in hoc genere perfectum atque abſolutum, — immo nihil, quod reipublicæ literariæ vel minima ex parte ſatisfaceret, a me in lucem proferri poſſe, niſi novis Codicum MSS. collationibus inſtructa fuerit hæc noſtra Editio. — Ubi vero poſt varias longaſque moras (licet pro ſua munificentia Academici preli curatores ſumptus in hanc rem impendere ſeſe paratiſſimos oſtenderent,) nulla tandem ſuppetebat ratio, qua iſtorum Codicum, qui in

exteris bibliothecis aſſervantur, collationes nanciſci poſſem;—de incepto noſtro ad felicem exitum unquam perducendo ſpes omnis neceſſario erat abjicienda.—Ne tamen prorſus *juventuti* deeſſem,—haud inutile fore duxi, ſi hunc præſtantiſſimum atque optimæ ſane frugis pleniſſimum libellum typis ſeparatim deſcribendum curarem. Exordium ejus pulcherrimum in annotationibus ad duas conciones, oppido quam elegantes, Norvici habitas jure ac merito laudavit Vir ingenio atque doctrina inſtructiſſimus, SAMUELIS PARR; a cujus ſcriptis limatiſſimis, "paucis illis quidem, ſed egregiis,—ſed admirandis," me incredibili fuiſſe voluptate perfuſum gratus agnoſco.

In Græcis exhibendis, editionem Stephani ubique, ſi interpunctionem excipias, ſecuti ſumus.—Verſionem *Xylandri* integram et intactam ſubjeci; "mori ſcilicet," ut ait Toupius, "et conſuetudini ſerviens:" Verſiones enim Latinas Græcorum ſcriptorum improbo damnoque; atque has præcipue in cauſa eſſe, quare Græca haud æque facile ac Latina legantur*, mihi, ſi quid aliud, perſuaſiſſimum eſt.—Ex iſtis Commentariis, qui mihi erant ad manum,

* Vide Moſis Du Soul Præfat. in Vit. Plutarch.

eas obſervationes ſelegi, quæ Chæronenſem noſtrum optime elucidare viderentur.—In meis vero ipſius animadverſionibus conſcribendis, duplicem finem mihi ipſi propoſui:—primo, ut aliorum Interpretum defectus ſupplerem:—deinde, ut *Lennepianam hypotheſin de Temporibus Græcis* illuſtratam darem. VALE.

Dec. 22, 1790.

ΠΛΟΥΤΑΡΧΟΥ
ΧΑΙΡΩΝΕΩΣ
ΠΕΡΙ
ΠΑΙΔΩΝ ΑΓΩΓΗΣ.

ΤΙ τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν, φέρε σκεψώμεθα. Βέλτιον δ᾽ ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. Τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πατράσιν ὑποθείμην ἂν ἔγωγε μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν· λέγω δὲ οἷον ἑταίραις ἢ παλλακαῖς. Τοῖς γὰρ μητρόθεν ἢ πατρόθεν οὐκ εὖ γεγονόσιν ἀνε-

COnſideremus in præſentia, quid dici poſſit de ingenuorum puerorum inſtitutione, et quánam uſi ratione bene morati evadere poſſint. Opinor autem initium ab ipſa ducendum procreatione. Ergo qui parentes fieri cupiunt laude dignorum liberûm, iis ego quidem hoc conſulerem, ne cum quibuſvis mulieribus rem haberent: quales, inquam, ſunt meretrices et pellices. Quorum enim vel à patre vel

ξάλειπ]α παρακολȣθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βȣλομένοις. Καὶ σοφὸς ἦν ἄρα ὁ ποιητὴς ὅς φησιν,

Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένȣς
Ὀρθῶς, ἀνάγκη δυςυχεῖν τȣ̀ς ἐκγόνȣς.

Καλὸς ἦν παῤῥησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλεῖςον λόγον ποιητέον τοῖς νομίμȣ παιδοποιΐας γλιχομένοις. Καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος σφάλλεσθαι καὶ ταπεινȣ̃σθαι πέφυκε. Καὶ μάλα ὀρθῶς ὁ λέγων ποιητής φησι,

Δȣλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
Ὅταν συνειδῇ πατρὸς ἢ μητρὸς κακά.

à matre aliquid vitii habent natales, eos per omnem vitam opprobria comitantur, quæ elui nullo modo poſſunt, ſuntque in promptu vitia iſta, ſi qui afficere eos ignominia volunt. Ac ſapienter dictum eſt à poëta,

Niſi fundamenta ſtirpis jacta ſint probè,
Miſeros neceſſe eſt eſſe deinceps poſteros.

Eſt itaque præclarus libertatis theſaurus ingenuitas, cujus plurimam ducere debent rationem, qui legitimam liberorum affectant procreationem. Etenim eorum, quibus genus eſt ſubdititium et adulterinum, animi ſpiritus ponere humique repere ſolent. Rectiſſiméque hoc cecinit poëta,

Non duritate tanta eſt quiſquam pectoris,
Obnoxio qui non animo et ſeruo fuat,
Culpæ patris matriſve conſcius ſibi.

Ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φρυάγματος οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλούς, ὡς ὅ, τι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖ τῷ τῶν Ἀθηναίων· ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ· ἃ δ' ἂν ἡ μήτηρ, καὶ Θεμιστοκλῆς· ἃ δ' ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι. Πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης, οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες ὡς οὐ βασιλέας ἀλλὰ βασιλίσκους παρασχεῖν αὐτοῖς διανοοῖτο. Ἐχόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὅπερ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωρᾶτο. Ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιΐας πλησιάζοντας ταῖς γυναιξὶν ἤτοι

Sicut contrà arrogantia quadam animíque exſultatione implentur illuſtribus nati parentibus. Quomodo Diophantum Themiſtoclis F. frequenter aiunt et ad multos dixiſſe, quidquid ipſi placuiſſet, id populo quoque Athenienſi probari: ſuæ enim ſententiæ matrem ſuffragari; hujus Themiſtoclem; cujus univerſi Athenienſes ratum habeant decretum. Omnino autem laude digni ſunt Lacedæmonii ob altitudinem animi, qui Archidamum regem ſuum pecunia mulctaverunt, quòd puſillam uxorem ducere non eſſet veritus: cauſa expoſita, quòd is non reges ſed reguncùlos ipſis ſtatuiſſet generare. His continuò id ſubjungendum eſt, quod ne eos quidem fefellit, qui ante nos hoc argumentum tractaverunt. Quid, inquies, illud? Quòd, qui rem habere cum mulieribus prolis gignendæ cauſa volunt, aut omnino vini vacu-

τὸπαράπαν ἀοίνȣς, ἢ μετρίως γȣ̃ν οἰνωμένȣς, ποιεῖσθαι προσήκει τὸν συνȣσιασμόν. Φίλοινοι γὰρ καὶ μεθυςικοὶ γίνεσθαι φιλȣ̃σιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. Ἧ καὶ Διογένης μειράκιον ἐκςατικὸν ἰδὼν καὶ παραφρονȣ̃ν, Νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε. Καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι.

Περὶ δὲ τῆς ἀγωγῆς καὶ δὴ λεκτέον. Καθόλȣ μὲν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν καὶ τῶν ἐπιςημῶν λέγειν εἰώθαμεν, ταυτὸν καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐςίν· ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν, φύσιν, καὶ λόγον, καὶ ἔθος. Καλῶ δὲ λόγον μὲν, τὴν μάθησιν· ἔθος δὲ, τὴν ἄσκησιν. Εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ, τῆς μαθήσεως· αἱ δὲ χρήσεις, τῆς με-

os, aut certè mediocriter eo uſos, hoc convenit facere. Adſolent enim vinoſi et ebrioſi fieri, quos patres ebrii ſeverunt. Quamobrem etiam Diogenes adoleſcentulum videns animo abalienatum et mentis malè compotem, dixit; Adoleſcens, pater te ebrius genuit. Atque hæc quidem de procreatione dicta ſunto.

Nunc de inſtitutione dicendum. Ut igitur ſumma rem totam complectar, quod de artibus et ſcientiis ſolemus, idem et de virtute pronunciandum eſt: ſcilicet ad ejus perfectionem tria oportere concurrere; naturam nimirum, rationem, et adſuefactionem. Rationem verò intelligi volo doctrinam, et adſuefactionis nomine exercitationem. Initia hoc in genere debentur diſciplinæ, uſus exercitationi, perfectio omnibus. Et

λέτης· αἱ δ᾽ ἀκρότητες, πάντων. Καθ᾽ ὃ δ᾽ ἂν λειφθῇ τι τούτων, κατὰ τοῦτ᾽ ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. Ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλόν· ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές· ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. Ὥσπερ δὲ επὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα· τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα. Ταῦτα πάντα διατεινάμενος εἴποιμι ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρ᾽ ἅπασιν ᾀδομένων ψυχὰς, Πυθαγόρου καὶ Σωκράτους καὶ Πλάτωνος καὶ τῶν, ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. Εὐδαίμων μὲν οὖν καὶ θεοφιλὴς εἴ τῳ ταῦτα πάντα θεῶν

ubi horum aliquid defecerit, ab ea parte mancam fieri virtutem neceſſe eſt. Natura quippe abſque diſciplina ſi ſit, cæca eſt: diſciplina, ſi à natura deſtituatur, defecta: exercitatio, his duobus demtis, imperfecta eſt. Et quemadmodum ad agriculturam primùm requiritur bonum ſolum, deinde peritus colonus, denique ſemina frugi; ita planè hîc natura ſolo, agricolæ magiſter, ſemini præcepta atque inſtituta reſpondent. Hæc ego omnia contendere auſim conveniſſe atque conſpirâſſe in animas omnium ore decantatorum hominum, Pythagoræ, Socratis, Platonis, atque aliorum, qui nulla unquam oblivione delendam gloriam ſunt conſecuti. Sanè beatus diiſque acceptus eſt, cui deus iſta omnia tribuit. Si tamen aliquis ita putat, eos qui ingenio non

τις ἀπέδωκεν. Εἰ δέ τις οἴεται τὺς ὐκ εὖ πεφυκότας, μαθήσεως καὶ μελέτης τυχόντας ὀρθῆς πρὸς ἀρετὴν, ὐκ ἂν τὴν τῆς φύσεως ἐλάτ]ωσιν εἰς τὐνδεχόμενον ἀναδραμεῖν, ἴςω πολλῦ, μᾶλλον δὲ τῦ παντὸς διαμαρτάνων. Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥαθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥᾴδια τὺς ἀμελῦντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται. Καταμάθοις δ' ἂν ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιυργὸν ἐπιμέλεια καὶ πόνος ἐςὶν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. Σταγόνες μὲν γὰρ ὕδατος πέτρας κοιλαίνυσι· σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται· οἱ δ' ἁρμάτειοι τροχοὶ πόνῳ καμφθέντες ὐδ' ἂν, εἴ τι γένοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἂν λαβεῖν εὐθυωρίαν· τάς γε μὴν καμ-

ſunt felici, ubi ad virtutem rectè inſtituuntur atque exercentur, non poſſe naturæ defectum mediocriter exſarcire, ſcire debet in errore ſe non parvo, immò autem ſummo verſari. Naturæ enim bonitatem ſocordia corrumpit; vitium doctrina corrigit: et cùm facilia negligentes nos fugiunt, tum difficilia conſequimur accuratione. Et verò multarum rerum contemplatione addiſcere poſſis, quantum efficacitatis atque ad perficiendas res virium habeant induſtria atque labor. Nam et aqua guttatim lapſa lapidem cavat: et ferrum atque æs manuum contrectatione atteruntur: et rotas curruum labore magno curvatas nullo poſſis conatu in priſtinam reſtituere rectitudinem: ac incurvos hiſtrionum lituos in rectum dirigere nulla vis queat. Adeò quod contra na-

πύλας τῶν ὑποκριτῶν βακ]ηρίας ἀπευθύνειν ἀμήχανον· ἀλλὰ τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κα]ὰ φύσιν ἐγένετο κρεῖτ]ον. Καὶ μόνα ἄρα ταῦτα τὴν ἐπιμελείας ἰσχὺν διαδείκνυσιν; ἐκ· ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. Ἀγαθὴ γῆ πέφυκεν, ἀλλ᾽ ἀμεληθεῖσα χερσεύεται· καὶ ὅσῳ τῇ φύσει βελτίων ἐςὶ, τοσέτῳ μᾶλλον ἐξαργηθεῖσα δι᾽ ἀμέλειαν ἐξαπόλλυται. Ἀλλ᾽ ἔςι τις ἀπόκροτος καὶ τραχυτέρα τῦ δέοντος; ἀλλὰ γεωργηθεῖσα παραυτίκα γενναίυς καρπὺς ἐξήνεΓκε. Ποῖα δὲ δένδρα ἐκ, ὀλιγωρηθέντα μὲν, ςρεϐλὰ φύεται καὶ ἄκαρπα καθίςαται, τυχόντα δὲ ὀρθῆς παιδαγωγίας, ἔΓκαρπα γίνονται καὶ τελεσφόρα; Ποία δὲ σώματος ἰσχὺς ἐκ ἐξαμϐλῦται καὶ καταφθίνει δι᾽ ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; τίς δ᾽ ἀσθενὴς φύσις ἐ τοῖς γυμνασαμένοις καὶ

turam labor effecit, ipſa naturali facultate fit validius. Quid? an hæc duntaxat ſunt, quibus diligentiæ vis demonſtratur? immò verò ſunt innumera porrò alia. Solum telluris bonum fuit; cultura ceſſante, ſterileſcit: quantóque melius fuit natura, tanto deterius fit neglectu. Alia contrà eſt tellus dura atque aſperior æquo; ea tamen culta præclaros illicò edit fructus. Jam quæ arbores non tortuoſæ fiunt atque infrugiferæ, ſi per incuriam habeantur? quæ non frugiferæ fiunt atque fecundæ, ſi rectè educantur? Aut quorum corporum robur non hebeſcit atque diſſipatur ſocordia, luxu, pravâque habitudine? quis contrà ita fuit invalida natura, ut non exercitationibus et certaminum ſtudio maxima fecerit ad robur incrementa? Qui verò

καταθλήσασι πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; Τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δὲ ἀδάμαστοι μείναντες οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν; Καὶ τί δεῖ τἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασσευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; Εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἠπιώτατοι Θετταλῶν, ἔφη, Οἱ παυόμενοι πολεμεῖν. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθός ἐστι πολυχρόνιον, καὶ τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. Ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ ὁ τῶν Λακεδαιμονίων νομοθέτης δύο σκύλακας τῶν αὐτῶν γονέων λα-

equi à prima ætate rectè domiti non parent ſeſſoribus? qui maturè non ſubacti duricervices et feroces non exſtiterunt? Et quid attinet alia nos admirari, quando de beſtiis feriſſimis multas videmus cicures manſuetáſque labore redditas? Rectè etiam Theſſalus ille, qui percontanti, quínam Theſſalorum eſſent placidiſſimi, reſpondit, Qui militandi finem feciſſent. Cur verò inſiſtam pluribus recenſendis? cùm mores ipſi Græco ſermone nihil ſint quàm adſuefactio diuturna, neque abs re morales virtutes dixeris virtutes conſuetudinis eorum lingua. Uno adhuc hujus rei exemplo propoſito, deſinam prolixiùs iſta declarare. Lycurgus, is qui Lacedæmoniis leges poſuit, duos catulos iiſdem prognatos canibus diverſa omnino ratione educavit, alterum

βῶν· οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν· ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμορον, τὸν δὲ ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν. Εἶτα ποτὲ τῶν Λακεδαιμονίων εἰς ταυτὸ συνειλεγμένων, Μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσιν ἐστιν, ἄνδρες (ἔφησε) Λακεδαιμόνιοι, καὶ ἔθη καὶ παιδεῖαι καὶ διδασκαλίαι καὶ βίων ἀγωγαί. Καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά. Εἶτα προσαγαγὼν τοὺς δύο σκύλακας διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων· καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ἤϊξεν, ὁ δὲ ἐπὶ τὴν λοπάδα ὥρμησε. Τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων τί ποτε αὐτῷ τοῦτο δύναται καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπεδείκνυεν, Οὗτοι γονέων (ἔφη) τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μέν,

delicatum et luxurioſum, alterum indagini et venationibus aptum reddens. Quodam inde tempore cùm frequentes in concionem Lacedæmonii coiuiſſent; Magnum, (inquit) Spartani, ad virtutem concipiendam momentum adferunt adſuefactio, educatio, doctrina atque condocefactio. Quod ego vobis jam nunc commonſtrabo. Simúlque duos iſtos catulos productos, poſita in medio patina et lepore, dimiſit. Quorum cum alter illicò leporem, alter patinam peteret, neque etiamnum aſſequerentur Lacedæmonii quid ſibi catulis illis oſtendendis vellet; Hi, inquit, iiſdem nati parentibus, diverſa educati ratione, ventri alter deditus, alter venaticus evaſerunt. Dictum ſatis de adſuefactione et vitæ inſtitutione.

λίχνος, ὁ δὲ θηρευτὴς ἀποβέβηκε. Καὶ περὶ μὲν ἐθῶν καὶ βίων ἀρκείτω ταῦτα.

Περὶ δὲ τροφῆς ἐχόμενον ἂν εἴη λέγειν. Δεῖ δὲ (ὡς ἐγὼ ἂν φαίην) αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν καὶ τούτοις ὑπέχειν τοὺς μαστούς. Συμπαθέστερόν τε γὰρ θρέψουσι καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν, καὶ (τὸ δὴ λεγόμενον) ἐξ ὀνύχων ἁπαλῶν ἀγαπῶσαι τὰ τέκνα. Αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγγραπτον ἔχουσιν, ἅτε μισθοῦ φιλοῦσαι. Δηλοῖ δὲ καὶ ἡ φύσις ὅτι δεῖ τὰς μητέρας, ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν καὶ τρέφειν. Διὰ γὰρ τοῦτο παντὶ ζώῳ τεκόντι τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησεν. Σοφὸν δὲ ἄρα καὶ ἡ πρόνοια διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστούς, ἵνα καὶ εἰ δίδυμα τέκοιεν, διττὰς

Conſequens eſt ut de nutritione diſſeramus. Mea quidem ſententia matres ipſæ nutrire infantes atqne lactare debent. Majore enim cum adfectu animi alent eos majoréque ſtudio, utpote intimè, et à teneris (quod aiunt) unguiculis diligentes. Nutricum enim amor ſubdititius atque adſcititius eſt, utpote mercedis gratia diligentium. Sed et ipſa natura docet ipſis matribus lactandam eſſe atque alendam ſuam prolem. Ideò enim cuivis animali parienti alimentum lactis ſuppeditavit. Ac planè ſapiens eſt providentia, quæ bina mulieribus ubera dedit, ut etiam, ſi gemellos partu edidiſſent, uterque haberet alimenti ſui fontem. Abſque etiam hoc eſſet, tamen iſto modo matres liberis redderentur benevolentiores amo-

ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. Χωρὶς δὲ τούτων εὔνους καὶ τοῖς τέκνοις γίγνοιντ' ἂν καὶ φιλητικώτεραι· καὶ μὰ Δί' οὐκ ἀπεικότως. Ἡ συντροφία γὰρ ὥσπερ ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. Καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα ταῦτα ποθοῦντα φαίνεται. Μάλιστα μὲν οὖν (ὥσπερ ἔφην) αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας. Εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθένειαν, (γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον) ἢ πρὸς ἑτέρων τέκνων σπεύδουσαι γένεσιν, ἀλλὰ τάς γε τίτθας καὶ τροφοὺς, οὐ τὰς τυχούσας, ἀλλ' ὡς ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. Πρῶτον μὲν τοῖς ἤθεσιν Ἑλληνίδας. Ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύηται, τὸν αὐτὸν

rémque erga eos majorem conciperent: neque id injuria. Convictus enim quaſi intenſio quædam eſt benevolentiæ. Quando etiam à beſtiis ademtas alias, quarum uſæ erant convictu, deſiderari videmus. Maximè igitur, ut dixi, tentandum hoc eſt, ut ipſæ matres mammam ſuis præbeant infantibus. Sin id præſtare nequeant, vel ob corporis invaletudinem, (uſu enim hoc venire poteſt) vel quia ad novæ ſobolis feſtinant procreationem; ſaltem nutrices non quaſvis, ſed quàm fieri poteſt maximè probas deligamus. Primum in hac re ſit, ut moribus eæ ſint Græcanicis. Sicut enim membra corporis ſtatim ab ipſis natalibus infantis ſunt fingenda, ut recta adoleſcant neque diſtorque-

τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει. Εὔπλαςον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται· πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. Καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναπομάττονται κηροῖς, οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παιδίων ψυχαῖς ἐναποτυποῦνται. Καί μοι δοκεῖ Πλάτων ὁ δαιμόνιος ἐμμελῶς παραινεῖν ταῖς τίτθαις μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς ἀνοίας καὶ διαφθορᾶς ἀναπίμπλασθαι συμβαίνῃ. Κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ ποιητὴς καλῶς παραινεῖν λέγων,

Παῖδ᾽ ἔτ᾽ ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα.

Οὐ τοίνυν οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐςιν,

antur; ita et jam inde ab initio indoles ejus informanda eſt. Eſt namque pueritia ob mollitiem effictu facilis, animíſque puerorum teneris etiamnum facilè inſidet quod diſcunt: ſicut contrà quæ dura ſunt, ea difficulter molliuntur. Et ſicuti ſigilla mollibus imprimuntur ceris, ſic diſciplinæ puerilibus adhuc animis infiguntur. Ac mihi videtur divinus Plato nutricibus prudenter præcepiſſe, ne quaſvis fabulas pueris recitent, ne horum animi à principio ſtoliditate ac pravitate occupentur. Sed et Phocylides videtur bene hortari hoc verſu,

Inſtituenda bonis eſt ipſa pueritia rebus.

Cæterùm ne id quidem prætermittendum eſt, debere pueros, qui alumnis inſervient

ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν καὶ τούτοις σύντροφα γίνεσθαι ζητητέον πρώτιστα μὲν σπουδαῖα τοὺς τρόπους, ἔτι μέν τοι Ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, ἵνα μὴ συναναχρωννύμενοι βαρβάροις καὶ τὸ ἦθος μοχθηροῖς ἀποφέρωνταί τι τῆς ἐκείνων φαυλότητος. Καὶ οἱ παροιμιαζόμενοι δέ φασιν, οὐκ ἄπο τρόπου λέγοντες, ὅτι ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. Ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν ὑπὸ παιδαγωγοῖς τετάχθαι, ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἑκτέον ἐστὶ τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ βαρβάροις ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. Ἐπεὶ νῦν γε τὸ γινόμενον πολλοῖς ὑπερκαταγέλαστόν ἐστι. Τῶν γὰρ δούλων τῶν σπουδαίων τοὺς μὲν, γεωργοὺς ἀποδεικνύουσι,

unáque alentur, quæri primùm qui bonis ſint moribus; deinde Græco utantur eóque plano ſermone; ne cum barbaris et pravos habentibus mores ſi conſueſcant, inde aliquid vitii ducant. Proverbio enim ſententia minimè abſurda jactatur, Si cum claudo habites, fore ut ſubclaudicare diſcas. Poſtquam eò ætatis puer pervenit, ut jam ſit pædagogo ſubdendus, ibi tum adhibenda eſt accuratio, ne filios noſtros per imprudentiam mancipiis aut barbaris aut levibus hominibus tradamus. Nam plus quàm deridiculum eſt, quod hodie pleriſque uſu venit: qui, cùm ſervorum quos habent probos, alios agriculturæ, alios rei nauticæ, alios adminiſtrationi rei familiaris, alios uſuræ ex-

τοὺς δὲ, ναυκλήρους, τοὺς δὲ, ἐμπόρους, τοὺς δὲ, οἰκονόμους, τοὺς δὲ, δανειστάς· ὅ, τι δ᾽ ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίχνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. Δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν, οἷός περ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. † Τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι φράσων. Διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. Πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας, τὸ νομίμου τυχεῖν παιδείας. Καὶ καθάπερ τὰς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων ἐπιμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις πα-

ercendæ adhibeant; ſi quod inveniunt mancipium ebrioſum ac gulæ deditum et ad omnia inutile negotia, id liberis præficiunt. Oportet autem bonum pædagogum eo eſſe ingenio, quo fuit Phœnix Achillis pædagogus. Nunc quod omnium eſt eorum, quæ hactenus dixi, maximum atque ſummum, dicere aggrediar. Quærendi ſunt liberis magiſtri, quorum et inculpata ſit vita, et mores juſtæ reprehenſioni non obnoxii, et peritia minimè vulgaris. Fons enim et radix virtutis atque honeſtatis vitæ eſt inſtitutio proba. Utque agricolæ ſtirpibus pedamenta apponunt, ſic probi magiſtri accuratis præceptis admonitionibúſque adoleſcentes ſuffulciunt, ut mores recti inde germinent. Nunc verò

ραπηγνύουσι τοῖς νέοις, ἵν᾽ ὀρθὰ τούτων βλαςάνοι τὰ ἤθη. Νῦν δέ τις καὶ καταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι᾽ ἄγνοιαν (ἔσθ᾽ ὅτε καὶ δι᾽ ἀπειρίαν) ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. Καὶ οὔπω τοῦτό ἐςι καταγέλαςον, εἰ καὶ δι᾽ ἀπειρίαν αὐτὸ πράττουσιν· ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον. Τὸ ποῖον; Ἐνίοτε γὰρ εἰδότες, αἰσθομένοις μᾶλλον αὐτοῖς τοῦτο λεγόντων, τὴν ἐνίων τῶν παιδευτῶν ἀπειρίαν ἅμα καὶ μοχθηρίαν, ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας, οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις, εἰσὶ δὲ οἳ δεομένοις χαριζόμενοι φίλοις· παρόμοιον ποιοῦντες ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων, τὸν σὺν ἐπιςήμῃ δυνηθέντα ἂν σῶσαι παραλιπὼν, φίλῳ χαρι-

etiam deſpuas in contumeliam quorundam parentum, qui, priùs quàm futuri magiſtri ullum fecerint periculum, ignoratione aliquando aut etiam imperitia decepti, non ſpectatis adeóque etiam malæ notæ hominibus filios ſuos committunt. Quanquam non hoc eſt uſque adeò ridiculum, ſi quidem imprudentia peccatur. Illud extremè abſurdum, quòd aliquando, monentibus qui id meliùs norunt, ſcientes quanta ſit magiſtrorum quorundam imperitia juxtà atque pravitas, iis tamen ſuos mandant liberos; vel adulationibus blandientium victi, vel rogantibus eam amicis gratiam dantes. Quod perinde eſt, ac ſi quis ægrotans, omiſſo qui arte mederi poſſet medico, in amici gratiam deligat, à quo ob

ζόμενος, τὸν δι᾽ ἀπειρίαν ἀπολέσοντα ἂν αὐτὸν προέλοιτο· ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς τὸν χείριστον δοκιμάσειε, φίλου δεηθέντος. Ζεῦ καὶ θεοὶ πάντες, πατὴρ τις καλούμενος πλείω λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος ἢ τῆς τῶν τέκνων παιδεύσεως; Εἶτ᾽ οὐκ εἰκότα πολλάκις ὁ Κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι, εἴπερ ἄρα δυνατὸν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως ἀνακραγεῖν μέρος, Ὦ ἄνθρωποι, ποῖ φέρεσθε, οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπουδήν, τῶν δ᾽ υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε; Τούτοις δ᾽ ἂν ἔγωγε προσθείην, ὅτι οἱ τοιοῦτοι πατέρες παραπλήσιον ποιοῦσιν, οἷον εἴ τις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχοι. Πολλοὶ δὲ εἰς τοσοῦτον

ejus inſcitiam necetur: aut repudiato navis optimo rectore, amico petente peſſimum deligat. Prò deûm atque hominum fidem! Patris nomen gerit aliquis, et majorem habet rationem gratiæ petentium quàm liberûm inſtitutionis? Nónne conſentaneum eſt, quod antiquus ille Crates dixit? ſe, ſi fieri poſſet, altiſſimo urbis loco conſcenſo, proclamaturum; Quô tenditis homines? qui rei faciundæ omne impenditis ſtudium; filiis, quibus opes veſtras relinquetis, curam perparuam? Quibus ego adderem, tales patres perinde agere, ac ſi quis de calceo ſit ſolicitus, pedem nihil curet. Multi etiam parentes eò progrediuntur et avaritiæ et in liberos ſuos odii, ut ne majorem opus ha-

τῶν πατέρων προβαίνουσι φιλαργυρίας ἅμα καὶ μισοτεκνίας, ὥσθ᾿, ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτὰς, εὔωνον ἀμαθίαν διώκοντες. Ἣ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ πατέρα νοῦ καὶ φρενῶν κενόν. Ἐρωτήσαντος γάρ τινος αὐτὸν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, Χιλίας, ἔφη, δραχμάς. Τοῦ δὲ, Ἡράκλεις, εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα· δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι· Τοιγαροῦν (εἶπε) δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱὸν, καὶ ὃν ἂν πρίῃ. Τὸ δ᾿ ὅλον, πῶς οὐκ ἄτοπον, τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία δέχεσθαι τὰς τροφὰς, κἂν προτείνειε τὴν ἀριστερὰν, ἐπιτιμᾷν, μηδεμίαν δὲ

beant mercedem pendere, magiſtros filiis conducant homines nullius pretii, inſcitiam ſectantes vilem. Quam ob rem Ariſtippus patrem excordem neque ineleganti et perurbano ſermone pupugit. A quo interrogatus, quantum mercedis pro filii ſui inſtitutione poſceret, Mille denarios, reſpondit. Eóque exclamante, Hercules, ut valdè nimium exigis, cùm poſſim mille denariis ſervum emere; Proinde, dixit, duo habebis mancipia, filium ſcilicet tuum, et id quod emeris. Denique quî non ſit abſurdum, cum adſuefacias puerum ut alimentum dextra ſumat manu, increpéſque, ſi lævam porrigat, nullam interim te curam adhibere ut dextros probóſque is ſermones audiat? Jam quid eveniat mirificis iſtis parentibus, poſtquam liberos malè enutritos

ποιεῖσθαι πρόνοιαν τȣ̃ λόγων ἐπιδεξίων καὶ νομίμων ἀκȣ́ειν; Τί ȣ̓̃ν συμβαίνει τοῖς θαυμαςοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τȣ̀ς υἱεῖς, ἐγὼ φράσω. Ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφέντες τȣ̃ μὲν ὑγιαίνοντος καὶ τεταγμένȣ βίȣ καταφρονήσωσιν, ἐπὶ δὲ τὰς ἀτάκτȣς καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτȣ̀ς κρημνίσωσι, τότε δὴ μεταμέλονται τὴν τῶν τέκνων προδεδωκότες παιδείαν, ὅτε ȣ̓δὲν ὄφελος, τοῖς ἐκείνων ἀδικήμασιν ἀδημονȣ̃ντες. Οἱ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτȣς ἀναλαμβάνȣσιν, ἀνθρώπȣς ἀσήμȣς καὶ καταράτȣς, καὶ τῆς νεότητος ἀνατροπέας καὶ λυμεῶνας· οἱ δέ τινες ἑταίρας καὶ χαμαιτύπας μισθȣ̃νται σοβαρὰς καὶ πολυτελεῖς· οἱ δὲ κατοψοφαγȣ̃σιν· οἱ δὲ εἰς κύβȣς καὶ κώμȣς ἐξοκέλλȣ-

malè inſtituerunt, audi. Poſtquam hi, ſumta jam virili toga, contempto ſano et compoſito vitæ ductu, in incompoſitas atque ſerviles voluptates ſeſe præcipitaverunt; tum demum eos pœnitet neglectæ liberorum inſtitutionis, mœrorem ex eorum ſceleribus percipientes, quem nulla ſubſequitur utilitas. Alii enim adulatores ſibi adjungunt ac paraſitos, hominum genus pravum et execrabile, perniciem peſtémque juventutis: alii ſcorta et meretrices redimunt protervas atque ſumptuoſas: alii abliguriunt ſua: alii in aleam et comeſſationes à recto vitæ curſu efferuntur: ſunt qui et majora audent flagitia, adulterantes, orgia Bacchi obeuntes, et vel unam voluptatem morte redimendam putantes. Qui, ſi verſati cum philoſopho aliquo fuiſ-

σιν· ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν, μοιχεύοντες καὶ κιττοφοροῦντες καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. Φιλοσόφῳ δὲ ὁμιλήσαντες οὗτοι οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν καταπειθεῖς παρέσχοντο, καὶ τόγε παράγγελμα τοῦ Διογένους ἔμαθον ἂν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ, καί φησιν, Εἴσελθε εἰς πορνεῖόν που, ἵνα μάθῃς ὅτι τῶν ἀναξίων τὰ τίμια οὐδὲν διαφέρει. Συνελὼν τοίνυν ἐγώ φημι, (καὶ χρησμολογεῖν μᾶλλον ἢ παραινεῖν δόξαιμ᾽ ἂν εἰκότως) ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι. Καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμονίαν φημί. Καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρὰ

ſent, nunquam profectò talibus ſeſe mancipâſſent rebus, ſed Diogenis ſaltem præceptum didiciſſent; qui verbis quidem inſolentibus, verè tamen, quod ad res ipſas attinet, monuit, Ingredere lupanar aliquando, ut diſcas, nihilne res honeſtæ ab indignis differant. Ut autem una ſumma rem totam explicem, etſi haud injuria vaticinari potiùs quàm præcipere videri poſſum, ita pronuncio: unum eſſe primum, idémque et medium et ultimum in hac re caput, educationem rectam legitimámque inſtitutionem. Atque hæc ego conducere et adjumentum ad parandam virtutem adferre aio ádque felicitatem. Nam reliqua quidem bona humana ſunt, exigua, neque digna, in quæ operam impendas. Natalium ſplendor res eſt præclara ſanè, ſed bonum

καὶ ἐκ ἀξιοσπέδαςα καθέςηκεν. Εὐγένεια καλὸν μὲν, ἀλλὰ προγόνων ἀγαθόν. Πλῦτος δὲ τίμιον μὲν, ἀλλὰ τύχης κτῆμα, ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δ' ἐκ ἐλπίσασι φέρουσα προσήνεγκε· καὶ ὁ πολὺς πλῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις· καὶ τὸ μέγιςον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεςι. Δόξα γε μὴν σεμνὸν, ἀλλ' ἀβέβαιον. Κάλλος δὲ περιμάχητον μὲν, ἀλλ' ὀλιγοχρόνιον. Ὑγίεια δὲ τίμιον, ἀλλ' εὐμετάςατον. Ἰσχὺς δὲ ζηλωτὸν μὲν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. Τὸ δὲ ὅλον, εἴ τις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. Πόςον γάρ ἐςιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως; λέγω δὲ οἷον ἐλεφάντων καὶ ταύ-

à majoribus profectum. Divitiæ in pretio ſunt; verùm earum poſſeſſio à fortuna pendet; quæ eas ſæpenumerò ademit habentibus, et non ſperantibus obtulit: magnæ opes tanquam ſcopus propoſitæ ſunt iis, qui cupiunt loculos exhaurire, ſervis maleficis ac calumniatoribus: et, quod maximum eſt, etiam peſſimis adſunt divitiæ. Gloria res eſt ut venerabilis, ita inſtabilis. Pulchritudo optabilis, ſed parvo durans tempore. Sanitas pretioſa res eſt, eadémque facilè mutatur. Robur digna res eſt laude ac voto, ſed morbo ac ſenectute facilè aboletur. Quanquam, ut uno verbò dicam, qui ob vires corporis ſibi plaudit, ſcire debet ſe à vero aberrare. Quantum enim eſt hominis robur cum aliorum animalium robore comparatum? elephantorum puta, tau-

ρων καὶ λεόντων. Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. Καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ· τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δ' ἀναφαίρετος, νόσῳ δ' ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. Μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ· καὶ ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. Ὅ γε μὴν πόλεμος χειμάῤῥου δίκην πάντα σύρων καὶ πάντα παραφέρων μόνην οὐ δύναται παιδείαν παρελέσθαι. Καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς φιλόσοφος ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλπωνα ἤρετο, μή τι ἀπολωλεκὼς εἴη·

rorum, leonum. Doctrina omnium, quæ nobis adſunt, bonorum ſola immortalis eſt et divina. Sunt enim duo in hominis natura principatum facilè obtinentia, mens et ratio: quorum mens rationi præeſt, ratio mentis imperia exſequitur: hæc fortunæ non obnoxia, nulla calumnia auferri, nullo morbo corrumpi, ſenectute lædi non poſſunt. Sola enim mens ſeneſcens juveneſcit; et tempus cùm adimat alia, ſenectuti apponit ſcientiam. Et bellum cùm torrentis in morem omnia proruat, ſolam doctrinam auferre nequit. Ac mihi quidem videtur dignum memoratu Stilponis Megarenſis philoſophi dictum: qui à Demetrio, quo is tempore Megaram, civibus in ſervitutem abductis, ſolo æquavit, interrogatus ecquid ſuarum rerum amiſiſſet, nihil

καὶ ὅς, Οὐ δῆτα, εἶπε· ϖόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. Σύμφωνος δὲ καὶ συνῳδὸς καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται. Καὶ γὰρ οὗτος, ἐρωτήσαντος αὐτὸν (μοι δοκεῖ) Γοργίου, ἣν ἔχει ϖερὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, Οὐκ οἶδα, ἔφησε, ϖῶς ἀρετῆς καὶ ϖαιδείας ἔχει· ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. Ὥσπερ δὲ ϖαραινῶ τῆς ϖαιδείας τῶν τέκνων μηδὲν ϖοιεῖσθαι ϖρουργιαίτερον, οὕτως αὖ ϖάλιν φημὶ δεῖν τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι· τῶν δὲ ϖανηγυρικῶν λήρων ὡς ϖοῤῥωτάτω τοὺς υἱεῖς ἀπάγειν. Τὸ γὰρ τοῖς ϖολλοῖς ἀρέσκειν, τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης λέγων,

ſe amiſiſſe reſpondit: neque enim bellum virtutem inter ſpolia capere. Cui concinit atque conſonat Socratis illud, qui Gorgiæ (niſi fallor) quærenti, quid de Perſarum rege ſentiret, et an eum felicem eſſe putaret, ignorare ſe reſpondit, quòd neſciret, virtute et doctrina præditus eſſet, nécne: ſcilicet in his felicitatem, non in fortunæ obnoxiis bonis ponebat Socrates. Porrò quemadmodum hortor, ut inſtitutione liberorum nihil habeamus antiquius; ita rurſum moneo ſectandam eſſe eam, quæ corruptelarum vacua et ſana ſit, rationem; et à nugis iſtis ad populares cœtus comparatis quàm longiſſimè abducendum filios. Vulgo enim placere, ſapientibus eſt diſplicere. Teſtimonium mihi perhibet Euripides his verbis,

Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
Εἰς ἥλικας δὲ κὠλίγους σοφώτερος.

οἱ δ' ἐν σοφοῖς Φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν. Ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συρφετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. Καὶ νὴ Δί' εἰκότως. Εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες ἀμελοῦσι τοῦ καλοῦ, σχολῇ γ' ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. Πρὸς δὲ τούτοις, τί ἂν τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, καὶ τίσιν ἀγαθοῖς ἐπιφύεσθαι παραινέσαιμεν; Καλὸν γάρ τοι μηδὲν εἰκῇ μήτε λέγειν μήτε

Ad turbam ego verba facere ſum imperitior,
Inter ſed æquales paucóſque doctior.
Habet hoc locum. Nam qui inter doctos nil valent,
Gratior apud vulgum eſt eorum oratio.

Equidem animadverti, qui in eo ſtudium ſuum ponunt, ut dicendo placere promiſcuis turbis hominum eorúmque reportare poſſint gratiam, eorum vitam ferè intemperantem voluptatibúſque deditam exiſtere. Idque optimo mehercle jure. Qui enim ita ſe comparant, ut hominibus nullam honeſtatis rationem ducentibus voluptates concilient, multum abeſt ii ut propriæ oblectationi atque luxuriæ prælaturi ſint ea, quæ recta ſunt atque ſana, aut pro dulcibus moderata ſectaturi. Ad hæc, quid pueros utile doce-

πράτ]ειν, καὶ, κατὰ τὴν παροιμίαν, Χαλεπὰ τὰ καλά· οἱ δ' αὐτοσχέδιοι τῶν λόγων πολλῆς εὐχερείας καὶ ῥαδιȣργίας εἰσὶ πλήρεις, ȣ̓́θ' ὅθεν ἀρκτέον, ȣ̓́θ' ὅποι παυςέον ἐςὶν, εἰδότων. Χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων, οἳ ἂν ἐκ τȣ͂ παραχρῆμα λέγωσιν, εἰς ἀμετρίαν δεινὴν ἐμπίπ]ȣσι καὶ πολυλογίαν· σκέψις δ' ȣ̓κ ἐᾷ τῆς ἱκνȣμένης συμμετρίας τὸν λόγον ἐμπίπ]ειν. Ὁ Περικλῆς (ὡς ἡμῖν ἀκȣ́ειν παραδέδοται) καλȣ́μενος ὑπὸ τȣ͂ δήμȣ πολλάκις ȣ̓χ ὑπήκȣσε, λέγων ἀσύντακ]ος εἶναι. Ὡσαύτως δὲ καὶ Δημοσθένης, ζηλωτὴς τῆς τȣ́τȣ πολιτείας γενόμενος, καλȣ́ντων αὐτὸν τῶν Ἀθηναίων σύμβȣλον, ἀντέβαινεν, Οὐ συντέταγμαι, λέγων. Καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐςι καὶ πεπλασμένη παράδοσις· ἐν δὲ τῷ κα]ὰ Μειδίȣ τὴν τῆς σκέ-

bimus aliud, aut quibus eos bonis inhærere jubebimus? Pulcrum eſt profectò nihil fruſtra neque dici neque agi; et in proverbio eſt, difficilia eſſe ea, quæ ſint pulcra: verùm orationes ex tempore habitæ plenæ ſunt multæ levitatis atque vanitatis, neque initium habentes aptum neque finem. Ac præter alia delicta, qui ſubitò dicunt, in periculoſam incidunt verborum redundantiam atque loquacitatem: cùm meditatio non ſinat orationem modi proportionem finéſque tranſilire. Narrant Periclem ſæpenumerò vocatum à populo non obtemperâſſe, quòd ſe negaret eſſe præmeditatum. Eodémque modo Demoſthenes, æmulus ejus in republica gerenda rationis, cùm ab Athenienſibus ad conſilium dandum vocaretur, recuſavit, ſe non eſſe commentatum ſe-

ψεως ὠφέλειαν ἐναργῶς παρίστησι. Φησὶ γοῦν· Ἐγὼ δ' ἐσκέφθαι μὲν, ὦ Ἀθηναῖοι, φημὶ, κοὐκ ἂν ἀρνηθείην καταμεμελετηκέναι γε, ὡς ἐνῆν μάλιστα ἐμοί. Καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. Τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε· ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο ποιητέον ἐστί. Μέχρι δὲ τῆς τῶν ἀνδρῶν ἡλικίας οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν· ἀλλ' ὅταν τις ῥιζώσῃ τὴν δύναμιν, τότε, τῶν καιρῶν καλούντων, ἐλευθεριάζειν τοῖς λόγοις προσῆκον. Ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεθέντες, κἂν λυθεῖεν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν ὑποσκελίζονται, τὸν

cum rem inquiens. Verùm hæc fortaſſis nullo auctore tradita ſint et confiсta. In oratione quidem Midiana evidenter commendat meditationis utilitatem: ſunt enim hæc ejus verba: Ego verò, viri Athenienſes, meditatum me eſſe profiteor, neque inficiabor me, quantum omnino in me fuit, ſtudioſè commentatum eſſe orationem. Profectò enim miſer eſſem, ſi talia perpeſſus atque etiamnum ſuſtinens, ea neglexiſſem, quæ in mea mihi cauſa erant dicenda. Interim ego promptitudinem diſſerendi neque improbandam prorſus, neque rebus non dignis adhibendam aio; ſed inſtar medicamenti uſurpandam cenſeo: tamen ante virilem ætatem non permitto ad ſubitò oblatum argumentum orare. Ubi facultas diſſerendi radices egerit, tunc,

αὐτὸν τρόπον οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν εἴ ποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάσσουσι. Τὸ δὲ ἔτι παῖδας ὄντας ἐᾷν ἐπὶ καιροῦ λέγειν, ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. Ζωγράφος (φασὶν) ἄθλιος Ἀπελλῇ δείξας εἰκόνα, Ταύτην, ἔφη, νῦν γέγραφα· ὁ δὲ, Καὶ ἢν μὴ λέγῃς, εἶπεν, οἶδα ὅτι ταχὺ γέγραπται· θαυμάζω δὲ πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. Ὥσπερ τοίνυν (ἐπανάγω γὰρ πρὸς τὴν ἐξ ἀρχῆς τοῦ λόγου ὑπόθεσιν) τὴν θεατρικὴν καὶ παρατράγῳδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν. Ἡ μὲν γὰρ ὑπέρογκος ἀπολίτευτός ἐστιν, ἡ δὲ ἰσχνὴ λίαν ἀνέκπληκτος. Καθάπερ δὲ τὸ σῶ-

invitante occaſione, liberè uti oratione licebit. Nam quemadmodum qui diu fuerunt vincti, poſtmodò ſoluti, ob diuturnam vinculorum conſuetudinem ambulare neſcientes titubant; ita qui orationem multo à tempore conſtrictam tenuerunt, ii, etiamſi aliquando oporteat ſubitò dicere, nihilominus eandem tamen interpretationis formam retinent. Adhuc pueritiam agentibus verò permittere ut ex tempore dicant, cauſam præbet extremæ vaniloquentiæ. Ferunt quendam ineptum pictorem Apelli imaginem oſtendiſſe, quam ſubitò à ſe pictam diceret; tuliſſéque id ab Apelle reſponſi: Video, vel te tacente, eam eſſe feſtinanter pictam: ſed id miror, quòd non plures tales eo ſpatio temporis pinxeris. Sicut igitur (redeo enim ad inſtitu-

μα οὐ μόνον ὑγιεινὸν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρὴ, καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ· τὸ μὲν γὰρ ἀσφαλὲς ἐπαινεῖται μόνον, τὸ δὲ ἐπικίνδυνον καὶ θαυμάζεται. Τήνδε τυγχάνω γνώμην ἔχων καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως· οὔτε γὰρ θρασὺν, οὔτ᾽ ἄτολμον καὶ καταπλῆγα προσῆκεν εἶναι· τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περιΐσταται. Ἔντεχνον δὲ τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέστατα. Βούλομαι δ᾽, ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς εἰπεῖν· ὅτι τὸν μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον, ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον καὶ πάντη ἀνεπίμονον εἶναι νομίζω. Μονῳδία γὰρ ἐν ἅπασίν ἐστι πλήσ-

tum) orationis formam theatralem nimíſque tragicam juſſi, ita rurſum jubeo nimiam dictionis humilitatem atque exilitatem attentè vitare atque fugere. Nam et nimio turgens faſtu ad res civiles inepta eſt; et nimis gracilis nihil habet ad percellendum roboris. Ac ſicuti corpus non ſanum modò, ſed et firmo habitu eſſe; ſic oratio non morbo tantùm carere, ſed et vires habere debet: tuta enim laudantur duntaxat; quæ etiam cum periculo ſunt conjuncta, porrò et in admiratione ſunt. Eadémque eſt mea de animi affectione ſententia; quem neque ferocem, neque inaudacem dejectúmque eſſe convenit: quorum illud impudentiæ, hoc ſervili cuidam ſubmiſſioni mentis anſam præbet. Artificioſum verò eſt atque accuratum in omnibus me-

μιόν τε καὶ πρόσαντες· ἡ δὲ ποικιλία τερπνόν, καθάπερ κἀν τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν ἢ θεάμασιν. Δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον μηδενὸς μηδὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων μήτε ἀνήκοον μήτε ἀθέατον ἐᾶν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ περιδρομῆς μαθεῖν, ὡσπερεὶ γεύματος ἕνεκεν· (ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον) τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. Ἔχω δὲ δι' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην. Ὥσπερ γὰρ περιπλεῦσαι μὲν πολλὰς πόλεις καλὸν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. Ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος, ὅτι, ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν ἐν τοῖς ἄλλοις παι-

dium tenere. Ac dum adhuc inſtitutionis hujus memini, volo meam de oratione ſententiam exponere. Orationem ego prorſus uniformem primùm pro ſigno literarum bonarum imperitiæ non parvo reputo: deinde eam et in exercitatione ſtatuo faſtidium gignere et planè non poſſe diu placere. Ubique enim unius tenoris cantilena ſatietatem adfert et offendit: varietas delectat et hîc et ubique, ut in auditionibus et ſpectaculis. Oportet ergo puerum ingenuum ne eas quidem diſciplinas, quæ ob vulgarem uſum encyclia dicuntur, inauditas incognitáſque præterire; verùm eas in tranſcurſu, veluti guſtus percipiendi gratia, diſcere: (nam in omnibus perfectionem conſequi nemo poteſt) philoſophiam verò ſeriò colere. Poſſúmque meam ſen-

δεύμασι τοῖς ȣ̓δενὸς ἀξίοις ἑαυτȣ̀ς κατασκελετεύȣσι. Διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν. Περὶ μὲν γὰρ τὴν τȣ͂ σώματος ἐπιμέλειαν διτ]ὰς εὗρον ἐπιςήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ γυμναςικήν· ὧν ἡ μὲν τὴν ὑγείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. Τῶν δὲ τῆς ψυχῆς ἀῤῥωςημάτων καὶ παθῶν ἡ φιλοσοφία μόνη φάρμακόν ἐςι. Διὰ γὰρ ταύτην ἐςὶ καὶ μετὰ ταύτης γνῶναι τί τὸ καλὸν, τί τὸ αἰσχρόν· τί τὸ δίκαιον, τί τὸ ἄδικον· τί τὸ συλλήβδην αἱρετὸν, ἢ φευκτόν· πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχȣσι, πῶς φίλοις, πῶς γυναιξὶ, πῶς τέκνοις, πῶς οἰκέταις χρηςέον ἐςί· ὅτι δεῖ θεȣ̀ς μὲν σέβεσθαι,

tentiam hac ſimilitudine exponere: Quòd pulcrum quidem eſt circa multas urbes navigare, utile autem præſtantiſſimam inhabitare. Urbanum eſt etiam Bionis philoſophi dictum, qui aiebat, ſicut Penelopes proci, cùm non poſſent cum Penelopa concumbere, rem cum ejus ancillis habuiſſent; ita qui philoſophiam nequeunt apprehendere, eos in aliis nullius pretii diſciplinis ſeſe conterere. Itaque reliquorum ſtudiorum quaſi caput et ſumma conſtituenda eſt philoſophia. Etenim ad corporis curationem duæ inventæ ſunt ab hominibus ſcientiæ, medicina et gymnaſtice: quarum altera ſanitatem, altera firmam ſani corporis conſtitutionem conciliat. Animi autem ægritudinibus atque motibus ſola medetur philoſophia. Hac duce et comite cognoſcere datur, quid honeſtum ſit, quid turpe; quid juſtum, quid injuſtum; quid ad ſummam expetendum, quid

... of our moral duties constitute ... most important part of Philoso...

γονέας δὲ τιμᾷν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾷν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν· τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτε ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν, μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις· ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν πρεσβύτατα κρίνω· τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός· τὸ δ᾽ ἀνεπιφθόνως, εὐηνίου ἀνθρώπου· τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν· τὸ δὲ ὀργῆς κατακρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. Τελείους δὲ ἀνθρώπους ἡγοῦμαι τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μῖξαι καὶ κερά-

ſugiendum: quomodo nos erga deos, erga parentes, ſeniores, leges, alienos, magiſtratus, amicos, uxores, liberos, ſervos, gerere debeamus: ſcilicet, ut veneremur deos, parentes honore afficiamus, ſeniores revereamur, legibus obtemperemus, amicos diligamus, uxores caſtè amemus, liberos animi interno quodam amore complectamur, ſervos injurioſè non tractemus; et, quod ſummum eſt, neque rebus ſecundis efferamur gaudio, neque adverſis nimio luctu dejiciamur, ac neque voluptatibus diffluamus, neque ira ad ſævitiam nos abripi ſinamus; quæ ego omnium nobis à philoſophia obtingentium bonorum antiquiſſima judico: fortuna enim proſpera ingenuè uti, viri eſt officium: citra invidiam, hominis moderati: ratione vincere voluptates, ſapientis: iram compeſcere, non cujuſvis viri. Perfectos autem viros ego eos cenſeo, qui norunt

